## II [3D.]

ἡ Τροιζὴν ἀγαθὴ κουροτρόφος· οὐκ ἂν ἁμάρτοις
  αἰνήσας παίδων οὐδὲ τὸν ὑστάτιον.
τόσσον δ' Ἐμπεδοκλῆς φανερώτερος, ὅσσον ἐν ἄλλοις
  ἄνθεσιν εἰαρινοῖς καλὸν ἔλαμψε ῥόδον.

## III [4D.]

οἱ παῖδες λαβύρινθος ἀνέξοδος· ᾗ γὰρ ἂν ὄμμα
  ῥίψῃς, ὡς ἰξῷ τοῦτο προσαμπέχεται·
τῇ μὲν γὰρ Θεόδωρος ἄγει ποτὶ πίονα σαρκός
  ἀκμὴν καὶ γυίων ἄνθος ἀκηράσιον,
τῇ δὲ Φιλοκλῆος χρύσεον ῥέθος, ὅς τε καθ' ὕψος
  οὐ μέγας, οὐρανίη δ' ἀμφιτέθηλε χάρις.
ἢν δ' ἐπὶ Λεπτίνεω στρέψῃς δέμας, οὐκέτι γυῖα
  κινήσεις, ἀλύτῳ δ' ὡς ἀδάμαντι μενεῖς
ἴχνια κολληθείς, τοῖον σέλας ὄμμασιν αἴθει
  κούρου κὰς νεάτους ἐκ κορυφῆς ὄνυχας.
χαίρετε, καλοὶ παῖδες, ἐς ἀκμαίην δὲ μόλοιτε
  ἥβην καὶ λευκὴν ἀμφιέσαισθε κόμην.

## IV [5D.]

ἦ ῥά νύ τοι, Κλεόνικε, δι' ἀτραπιτοῖο κιόντι
  στεινῆς ἤντησαν ταὶ λιπαραὶ Χάριτες,
καί σε ποτὶ ῥοδόεσσιν ἐπηχύναντο χέρεσσιν,
  κοῦρε, πεποίησαι δ' ἡλίκος ἐσσὶ χάριν.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415776481/206 UNIVERSITÄT LEIPZIG